2 ἀριθμοὺς] τετραγώνους add. *Ba.* εἶναι om. *Ba.* 3 ἀριθμούς] τετραγώνους *Ba.* 9 τοῦ α^{ου} om. AB, suppl. *Ba.* 10 ταῖς Μ̊ $\overline{λς}$] μονάδες $\overline{λς}$ *Ba.* 17 ς $\bar{β}$ Μ̊ $\bar{α}$ om. AB, suppl. *Ba.* Post □^{ῳ}, A in mg. (m. rec.) κείμενον· ἀπὸ ς^{ου} ἑνὸς μ^{ος} $\bar{α}$· αὐτὸς ἄρα ὁ □^{ος} ἔσται δυνάμεως μιᾶς ς^{ων} $\bar{β}$ μ^{ος} $\bar{α}$. ὁ δὲ] καὶ ἔστω ὁ *Ba.* 19 πάλιν . . . ποιείτω (20)] ἔστω δὲ καὶ ὁ δεύτερος μετὰ τοῦ τρίτου *Ba.*

Aliter.[1]

Quaero primum tres numeros [quadratos] quorum summa sit quadratus. 6

Si addo duos numeros [quadratos], ut 4 et 9, et quaero quis quadratus, addito 13, faciat quadratum, inveniam 36, et horum trium quadratorum summa erit quadratus.

Reliquum deductum est ad quaerendum: invenire tres numeros tales ut binorum summa reliquum superet proposito numero, nempe sit

$$X_1 + X_2 - X_3 = 4, \quad X_2 + X_3 - X_1 = 9,$$
$$X_3 + X_1 - X_2 = 36.$$

Quod supra monstratum est.[2]

Erit

$$X_1 = 20, \quad X_2 = 6\tfrac{1}{2}, \quad X_3 = 22\tfrac{1}{2},$$

et proposita faciunt.

VI.

Invenire tres numeros quorum summa sit quadratus et tales ut bini quomodocumque simul additi quadratum faciant. 7

Ponatur summa $(X_1 + X_2 + X_3) = \square$, esto

$$x^2 + 2x + 1.$$

Sit autem

$$X_1 + X_2 = x^2;$$

erit ergo reliquus

$$X_3 = 2x + 1.$$

Rursus, quum postulatur fore

$$X_2 + X_3 = \square, \quad \text{sit} \quad x^2 + 1 - 2x,$$

1) Haec solutio altera valde elegans scholiastae vix tribui potest. Nihilominus ob textum eam suspicari licet.

2) Cf. I, XVIII.

οἱ τρεῖς $\Delta^{Y}\bar{\alpha}$ ς $\bar{\beta}$ $\mathring{M}\bar{\alpha}$· λοιπὸς ἄρα ὁ $\alpha^{o\varsigma}$ ἔσται ς $\bar{\delta}$· ἀλλὰ καὶ σὺν τῷ β^{ω} τέτακται $\Delta^{Y}\bar{\alpha}$, ὁ ἄρα $\beta^{o\varsigma}$ ἔσται $\Delta^{Y}\bar{\alpha}$ ⋔ ς $\bar{\delta}$.

δεήσει ἄρα καὶ τὸν α^{ov} μετὰ τοῦ γ^{ou} συναγόμενον 5 ς $\bar{\varsigma}$ $\mathring{M}\bar{\alpha}$ ἰσῶσαι $\square^{\omega}$· ἔστω ἴσος $\mathring{M}\overline{\rho\kappa\alpha}$, καὶ γίνεται ὁ ς $\mathring{M}\bar{\kappa}$.

ἔσται ὁ μὲν $\alpha^{o\varsigma}$ $\mathring{M}\bar{\pi}$, ὁ δὲ $\beta^{o\varsigma}$ $\mathring{M}\overline{\tau\kappa}$, ὁ δὲ $\gamma^{o\varsigma}$ $\mathring{M}\overline{\mu\alpha}$, καὶ ποιοῦσι τὸ ἐπίταγμα.

Ἄλλως.

10 Τετάχθωσαν οἱ τρεῖς $\Delta^{Y}\bar{\alpha}$ ς $\bar{\beta}$ $\mathring{M}\bar{\alpha}$· καὶ ἔστω ὁ $\alpha^{o\varsigma}$ καὶ ὁ $\beta^{o\varsigma}$ $\Delta^{Y}\bar{\alpha}$, λοιπὸς ἄρα ὁ $\gamma^{o\varsigma}$ ἔσται ς $\bar{\beta}$ $\mathring{M}\bar{\alpha}$. ἔστω δὲ καὶ ὁ $\beta^{o\varsigma}$ μετὰ τοῦ γ^{ou} $\Delta^{Y}\bar{\alpha}$ $\mathring{M}\bar{\alpha}$ ⋔ ς $\bar{\beta}$, ὧν ὁ $\gamma^{o\varsigma}$ ς $\bar{\beta}$ $\mathring{M}\bar{\alpha}$· λοιπὸς ἄρα ὁ $\beta^{o\varsigma}$ ἔσται $\Delta^{Y}\bar{\alpha}$ ⋔ ς $\bar{\delta}$. ἔστι δὲ καὶ ὁ $\alpha^{o\varsigma}$ μετὰ τοῦ β^{ou} $\Delta^{Y}\bar{\alpha}$, ὧν ὁ $\beta^{o\varsigma}$, $\Delta^{Y}\bar{\alpha}$ ⋔ ς $\bar{\delta}$· 15 λοιπὸς ἄρα ὁ $\alpha^{o\varsigma}$ ἔσται ς $\bar{\delta}$. καὶ οἱ τρεῖς συντεθέντες ποιοῦσι τὸν ἐπιταχθέντα $\square^{ov}$, $\Delta^{Y}\bar{\alpha}$ ς $\bar{\beta}$ $\mathring{M}\bar{\alpha}$, καὶ ὁ $\alpha^{o\varsigma}$ μετὰ τοῦ β^{ou}, καὶ ὁ $\beta^{o\varsigma}$ μετὰ τοῦ γ^{ou} ποιοῦσι $\square^{ov}$.

---

10 καὶ om. B, non *Ba*. 11 ὁ ante $\beta^{o\varsigma}$ om. *Ba*.

a radice nempe $x - 1$. Est summa

$$X_1 + X_2 + X_3 = x^2 + 2x + 1;$$

ergo reliquus erit $X_1 = 4x$.

Sed positus est $X_1 + X_2 = x^2$; ergo erit

$$X_2 = x^2 - 4x.$$

Oportebit adhuc $X_1 + X_3$, hoc est $6x + 1$, aequari □.

Sit □ $= 121$, et fit $x = 20$.

Erit

$$X_1 = 80, \quad X_2 = 320, \quad X_3 = 41,$$

et conditioni satisfaciunt.

Aliter.[1])

Ponatur

$$X_1 + X_2 + X_3 = x^2 + 2x + 1.$$

Sit autem

$$X_1 + X_2 = x^2;$$

ergo reliquus $X_3 = 2x + 1$.

Sit alias

$$X_2 + X_3 = x^2 + 1 - 2x;$$

quum sit

$$X_3 = 2x + 1;$$

ergo reliquus $X_2 = x^2 - 4x$.

Sed

$$X_1 + X_2 = x^2;$$

quum sit

$$X_2 = x^2 - 4x,$$

ergo reliquus $X_1 = 4x$.

Sic summa trium facit propositum quadratum, $x^2 + 2x + 1$, et $X_1 + X_2$, sicut $X_2 + X_3$, facit □.

1) Hanc secundam solutionem ex vetere commentario in textum defluxisse censeo.

δεήσει ἄρα καὶ τὸν γ^{ov} μετὰ τοῦ α^{ou} συναγόμενον $\varsigma\ \bar{\varsigma}\ \mathring{M}\ \bar{\alpha}$, ἰσῶσαι □$^{\omega}$· ἔστω $\mathring{M}\ \overline{\lambda\varsigma}$, καὶ γίνεται ὁ ς $\overset{\varsigma}{\overline{\lambda\varepsilon}}$.

ἔσται ὁ μὲν α^{os} $\overset{\varsigma}{\overline{\rho\mu}}$, τουτέστιν $\overset{\lambda\varsigma}{\overline{\omega\mu}}$, ὁ δὲ β^{os} $\overset{\lambda\varsigma}{\overline{\tau\pi\varepsilon}}$, ὁ δὲ γ^{os} $\overset{\lambda\varsigma}{\overline{\upsilon\nu\varsigma}}$, καὶ ποιοῦσι τὸ πρόβλημα.

5 ζ.

Εὑρεῖν τρεῖς ἀριθμοὺς ἐν ἴσῃ ὑπεροχῇ, ὅπως σὺν δύο λαμβανόμενοι ποιῶσι τετράγωνον.

Ζητῶ πρότερον τρεῖς ἀριθμοὺς ⟨□^{ous}⟩, ἵνα ὦσιν ἐν ἴσῃ ὑπεροχῇ, ὧν τὸ ∟′ τῆς συνθέσεως τῶν τριῶν 10 μεῖζόν ἐστιν ἑκάστου.

τετάχθω οὖν ὁ μὲν α^{os} $\Delta^{Y}\bar{\alpha}$, ὁ δὲ β^{os} $\Delta^{Y}\bar{\alpha}\ \varsigma\ \bar{\beta}\ \mathring{M}\ \bar{\alpha}$, καὶ ἔστιν αὐτῶν ἡ ὑπεροχὴ $\varsigma\ \bar{\beta}\ \mathring{M}\ \bar{\alpha}$· ἐὰν δὲ προσθῶ τῷ β^{ω} τοὺς $\bar{\beta}\ \varsigma\ \mathring{M}\ \bar{\alpha}$, γίνεται ὁ γ^{os} $\Delta^{Y}\bar{\alpha}\ \varsigma\ \bar{\delta}\ \mathring{M}\ \bar{\beta}$· ταῦτα ἴσα □$^{\omega}$ τῷ ἀπὸ $\pi^{\lambda.}$ $\varsigma\ \bar{\alpha}$ ⋔ $\mathring{M}\ \bar{\eta}$. γίνεται ὁ □^{os}, $\Delta^{Y}\bar{\alpha}$ 15 $\mathring{M}\ \overline{\xi\delta}$ ⋔ $\varsigma\ \overline{\iota\varsigma}$ ἴσος $\Delta^{Y}\bar{\alpha}\ \varsigma\ \bar{\delta}\ \mathring{M}\ \bar{\beta}$, καὶ γίνεται ὁ ς $\overset{\varkappa}{\overline{\xi\beta}}$, τουτέστι $\overset{\iota}{\overline{\lambda\alpha}}$.

ἔσται ὁ μὲν α^{os} $\overline{ϡ\xi\alpha}$, ὁ δὲ β^{os} $\overline{,\alpha\chi\pi\alpha}$, ὁ δὲ γ^{os}, $\overline{,\beta\upsilon\alpha}$, καὶ ποιοῦσι τὸ πρόβλημα τὸ ζητούμενον, τουτέστι τρεῖς □^{ous} ἐν ἴσῃ ὑπεροχῇ, καὶ ἔστι τῶν τριῶν τὸ ∟′ μεῖζον 20 ἑκάστου αὐτῶν.

Νῦν ἔρχομαι ἐπὶ τὸ προβεβλημένον, τουτέστιν εὑ-

2—4 Denomin. suppl. *Ba*. 8 τετραγώνους suppl. *Ba* et Xylander; fortasse ἀριθμοὺς delendum est. 10 μεῖζων A B, μεῖζον *Ba* (item 19). 13 τοὺς $\varsigma\varsigma$ $\bar{\beta}$ *Ba*. $\varsigma\ \bar{\delta}$ om. A B, suppl. *Ba*. 14 τῷ] τὸ A. 15 et 16 Denominatores suppl. *Ba*.

Oportebit adhuc $X_3 + X_1$, hoc est $6x + 1$, aequari $\Box$.

Sit $\Box = 36$, et fit $x = \frac{35}{6}$.

Erit

$$X_1 = \frac{140}{6} = \frac{840}{36}, \quad X_2 = \frac{385}{36}, \quad X_3 = \frac{456}{36},$$

et problema solvunt.

VII.

Invenire tres numeros in differentia aequali, et 9 tales ut bini quomodocumque additi quadratum faciant.

Primum quaero tres quadratos in differentia aequali et quorum trium summa dimidia maior sit quovis ipsorum.

Ponatur igitur

$$\Box_1 = x^2, \quad \Box_2 = x^2 + 2x + 1;$$

horum differentia est $2x + 1$; sed si ad $\Box_2$ addo ista $2x + 1$, fit

$$\Box_3 = x^2 + 4x + 2.$$

Aequatur $\Box$ a radice $(x - 8)$, fiet $\Box$

$$x^2 + 64 - 16x = x^2 + 4x + 2$$

unde

$$x = \frac{62}{20} \quad \text{vel} \quad \frac{31}{10}.$$

Erit

$$\Box_1 = 961, \quad \Box_2 = 1681, \quad \Box_3 = 2401,$$

et quaesitum problema solvunt, hoc est invenire tres quadratos in differentia aequali et quorum trium summa dimidia maior sit quovis ipsorum.

Nunc venio ad prius propositum, hoc est invenire

ρεῖν τρεῖς ἀριθμοὺς ἐν ἴσῃ ὑπεροχῇ, ὅπως σὺν δύο λαμβανόμενοι ποιῶσι □ον. ζητῶ πρότερον τρεῖς □ους ἐν ἴσῃ ὑπεροχῇ· τοῦτο δὲ προδέδεικται, καί εἰσιν οἱ □οι, ὁ αος $\overline{\text{ϡξα}}$, ὁ βος $\overline{\text{͵αχπα}}$, ὁ γος $\overline{\text{͵βυα}}$.

5 νῦν δεῖ εὑρεῖν ὅπως ὁ αος καὶ ὁ βος ποιῶσι M̊ $\overline{\text{ϡξα}}$, ὁ δὲ βος καὶ ὁ γος ⟨M̊⟩ $\overline{\text{͵βυα}}$ (ἐνήλλακται γὰρ διὰ τὴν ὑπεροχήν), ὁ δὲ γος καὶ ὁ αος M̊ $\overline{\text{͵αχπα}}$.

Τετάχθωσαν οἱ τρεῖς ϛ $\bar{\text{α}}$, καὶ ἐπεὶ οἱ τρεῖς εἰσιν ϛ $\bar{\text{α}}$, ἐὰν ἄρα ἀφέλω τὰς τοῦ αου καὶ βου M̊ $\overline{\text{ϡξα}}$, ἕξω 10 τὸν γον, ϛ $\bar{\text{α}}$ ⋔ M̊ $\overline{\text{ϡξα}}$. καὶ πάλιν ἐὰν ἀπὸ ϛ $\bar{\text{α}}$ ἀφέλω τὰς τοῦ βου καὶ γου M̊ $\overline{\text{͵βυα}}$, ἕξω τὸν αον, ϛ $\bar{\text{α}}$ ⟨⋔ M̊ $\overline{\text{͵βυα}}$· καὶ πάλιν ἐὰν ἀπὸ ϛ $\bar{\text{α}}$ ἀφέλω τὰς τοῦ γου καὶ αου M̊ $\overline{\text{͵αχπα}}$, ἕξω τὸν βον, ϛ $\bar{\text{α}}$⟩ ⋔ M̊ $\overline{\text{͵αχπα}}$.

λοιπόν ἐστι τοὺς τρεῖς συντεθέντας ἴσους εἶναι ϛ $\bar{\text{α}}$, 15 καὶ γίνεται ὁ ϛ $\overline{\text{͵βφκα}}$ L'.

καὶ ἔσται ὁ μὲν αος M̊ $\overline{\text{ρκ}}$ L', ὁ δὲ βος M̊ $\overline{\text{ωμ}}$ L', ὁ δὲ γος M̊ $\overline{\text{͵αφξ}}$ L', καὶ μένει τὸ ἐπίταγμα.

---

1 τρεῖς om. AB, suppl. *Ba.* 4 ὁ δὲ δεύτερος *Ba.* 6 M̊ supplevi. τὴν] ἴσην addit *Ba.* 10 ϛ $\bar{\text{α}}$] καὶ πρῶτον AB, corr. *Ba.* ἀπὸ om. B. 11 ⋔ M̊ ͵βυα .... βον ϛ $\bar{\text{α}}$ (13) suppl. *Ba*; ἀπὸ (12) addidi. 16 καὶ ἔσται ..... ͵αφξ L' (17) om. *Ba.*

tres numeros in differentia aequali et tales ut bini quomodocumque additi quadratum faciant.

Primum quaero tres quadratos in differentia aequali ut modo demonstratum est; sunt tres quadrati

$$\square_1 = 961, \quad \square_2 = 1681, \quad \square_3 = 2401.$$

Nunc oportet esse

$$X_1 + X_2 = 961,$$
$$X_2 + X_3 = 2401,$$

invertendo ordinem propter differentiam, et

$$X_3 + X_1 = 1681.$$

Ponatur

$$X_1 + X_2 + X_3 = x;$$

quum summa trium sit x, si subtraho

$$X_1 + X_2 \text{ nempe } 961,$$

habebo

$$X_3 = x - 961.$$

Rursus si ab x subtraho

$$2401 = X_2 + X_3,$$

habebo

$$X_1 = x - 2401,$$

et si tandem ab x subtraho

$$1681 = X_3 + X_1,$$

habebo

$$X_2 = x - 1681.$$

Restat ut sit

$$X_1 + X_2 + X_3 = x$$

et fit

$$x = 2521\tfrac{1}{2}\cdot$$

Erit

$$X_1 = 120\tfrac{1}{2}, \quad X_2 = 840\tfrac{1}{2}, \quad X_3 = 1560\tfrac{1}{2},$$

et constat propositum.

η.

Ἀριθμοῦ τινος δοθέντος, προσευρεῖν ἑτέρους τρεῖς, ὅπως ὁ συγκείμενος ἐκ δύο ὁποιωνοῦν προσλαβὼν τὸν δοθέντα ποιῇ τετράγωνον, ἔτι δὲ καὶ οἱ τρεῖς συντεθέντες καὶ προσλαβόντες τὸν δοθέντα ποιῶσι τετράγωνον.

Ἔστω ὁ μὲν δοθεὶς M̊ γ̄, ὁ δὲ συγκείμενος ἐκ δύο τῶν $α^{ων}$ Δ^{Y} ᾱ ς δ̄ M̊ ᾱ, ἵνα μετὰ τῶν γ̄ M̊ ποιῇ $□^{ον}$, οἱ δὲ ἑξῆς δύο Δ^{Y} ᾱ ς ϛ̄ M̊ ϛ̄, οἱ δὲ τρεῖς Δ^{Y} ᾱ ς η̄ M̊ ιγ̄, ἵνα καὶ οὗτοι μετὰ M̊ γ̄ ποιῶσι $□^{ον}$.

καὶ ἐπεὶ οἱ τρεῖς εἰσι Δ^{Y} ᾱ ς η̄ M̊ ιγ̄, ὧν οἱ $α^{οι}$ δύο Δ^{Y} ᾱ ς δ̄ M̊ ᾱ, λοιπὸς ἄρα ὁ $γ^{ος}$ ἐστὶν ς δ̄ M̊ ιβ̄.

πάλιν ἐπεὶ οἱ τρεῖς εἰσι Δ^{Y} ᾱ ς η̄ M̊ ιγ̄, ὧν ὁ $β^{ος}$ καὶ $γ^{ος}$ ἐστὶ Δ^{Y} ᾱ ς ϛ̄ M̊ ϛ̄, λοιπὸς ἄρα ὁ $α^{ος}$ ἐστιν ς β̄ M̊ ζ̄.

ἀλλὰ καὶ ὁ $α^{ος}$ καὶ ὁ $β^{ος}$ εἰσι Δ^{Y} ᾱ ς δ̄ M̊ ᾱ, καὶ λοιπὸς ἄρα ὁ $β^{ος}$ ἔσται Δ^{Y} ᾱ ς β̄ ⋔ M̊ ϛ̄.

λοιπόν ἐστι καὶ τὸν $α^{ον}$ μετὰ τοῦ $γ^{ου}$, προσλαβόντα M̊ γ̄, ποιεῖν $□^{ον}$. ἀλλ' ὁ $α^{ος}$ μετὰ τοῦ $γ^{ου}$, προσλαβὼν M̊ γ̄, γίνονται ς ϛ̄ M̊ κβ̄. ταῦτα ἴσα $□^{ῳ}$· ἔστω τῷ ρ̄, καὶ γίνεται ὁ ς M̊ ιγ̄.

ἔσται ὁ μὲν $α^{ος}$ M̊ λγ̄, ὁ δὲ $β^{ος}$ M̊ ρπθ̄, ὁ δὲ $γ^{ος}$ M̊ ξδ̄, καὶ ποιοῦσι τὸ πρόβλημα.

---

3 ὁποιονοῦν AB, corr. *Ba*. 12 ἐστι *Ba* (item 14). 13 οἱ om. *Ba*. 14 ἐστὶ om. B. 16 M̊ δ AB, corr. *Ba*. 20 ἔσται B, corr. *Ba* (item p. 156, 7).

VIII.

Numero aliquo dato adinvenire alios tres ita ut 10 summa binorum quorumvis plus dato faciat quadratum, et adhuc summa trium plus dato faciat quadratum.

Sit datus 3 et $X_1 + X_2 = x^2 + 4x + 1$, ut addito 3 fiat quadratus.

Sit autem

$$X_2 + X_3 = x^2 + 6x + 6$$

et

$$X_1 + X_2 + X_3 = x^2 + 8x + 13,$$

ut etiam addito 3 fiant quadrati.

Quoniam

$$X_1 + X_2 + X_3 = x^2 + 8x + 13$$

et

$$X_1 + X_2 = x^2 + 4x + 1,$$

reliquus ergo

$$X_3 = 4x + 12.$$

Rursus quoniam

$$X_1 + X_2 + X_3 = x^2 + 8x + 13$$

et

$$X_2 + X_3 = x^2 + 6x + 6,$$

reliquus ergo

$$X_1 = 2x + 7.$$

Sed et

$$X_1 + X_2 = x^2 + 4x + 1;$$

reliquus ergo

$$X_2 = x^2 + 2x - 6.$$

Restat ut $(X_1 + X_3) + 3$ faciat $\square$. Sed

$$X_1 + X_3 + 3 = 6x + 22.$$

Aequentur ista $\square = 100$. Fiet $x = 13$.

Erit

$$X_1 = 33, \quad X_2 = 189, \quad X_3 = 64,$$

et problema solvunt.

ϑ.

Ἀριθμοῦ τινος δοθέντος, προσευρεῖν ἑτέρους τρεῖς, ὅπως ὁ συγκείμενος ἐκ δύο ὁποιωνοῦν, λείψας τὸν δοθέντα, ποιῇ τετράγωνον, ἔτι δὲ καὶ οἱ τρεῖς, συν-
5 τεθέντες καὶ λείψαντες τὸν δοθέντα, ποιῶσι τετράγωνον.

Ἔστω πάλιν ὁ μὲν δοθεὶς $\overset{\circ}{M}\bar{\gamma}$· ὁ δὲ συγκείμενος ἐκ τῶν δύο $\alpha^{\omega\nu}$ $\Delta^{Y}\bar{\alpha}\,\overset{\circ}{M}\bar{\gamma}$, ἵνα λείψας τὰς $\bar{\gamma}$ $\overset{\circ}{M}$ ποιῇ $\square^{ον}$· οἱ δὲ ἑξῆς δύο $\Delta^{Y}\bar{\alpha}$ ς $\bar{\beta}$ $\overset{\circ}{M}\bar{\delta}$, οἱ δὲ τρεῖς $\Delta^{Y}\bar{\alpha}$
10 ς $\bar{\delta}$ $\overset{\circ}{M}\bar{\zeta}$, ἵνα καὶ οὗτοι, ⋔ $\overset{\circ}{M}\bar{\gamma}$, ποιῶσι $\square^{ον}$.

καὶ ἐπεὶ οἱ τρεῖς εἰσι $\Delta^{Y}\bar{\alpha}$ ς $\bar{\delta}$ $\overset{\circ}{M}\bar{\zeta}$, ὧν ὁ $\alpha^{ος}$ καὶ ὁ $\beta^{ος}$ $\Delta^{Y}\bar{\alpha}\,\overset{\circ}{M}\bar{\gamma}$· λοιπὸς ἄρα ὁ $\gamma^{ος}$ ἐστὶν ς $\bar{\delta}$ $\overset{\circ}{M}\bar{\delta}$.

πάλιν ἐπεὶ ὁ $\beta^{ος}$ καὶ ὁ $\gamma^{ος}$ εἰσὶ $\Delta^{Y}\bar{\alpha}$ ς $\bar{\beta}$ $\overset{\circ}{M}\bar{\delta}$, ὧν ὁ $\gamma^{ος}$ ἐστὶν ς $\bar{\delta}$ $\overset{\circ}{M}\bar{\delta}$· λοιπὸς ἄρα ὁ $\beta^{ος}$ ἔσται $\Delta^{Y}\bar{\alpha}$ ⋔ ς $\bar{\beta}$.

15 ἔστι δὲ καὶ ὁ $\alpha^{ος}$ καὶ ὁ $\beta^{ος}$ $\Delta^{Y}\bar{\alpha}\,\overset{\circ}{M}\bar{\gamma}$, ὧν ὁ $\beta^{ος}$ ἐστι $\Delta^{Y}\bar{\alpha}$ ⋔ ς $\bar{\beta}$· λοιπὸς ἄρα ὁ $\alpha^{ος}$ ἔσται ς $\bar{\beta}$ $\overset{\circ}{M}\bar{\gamma}$.

δεήσει ἄρα καὶ τὸν $\gamma^{ον}$ μετὰ τοῦ $\alpha^{ου}$ ⋔ $\overset{\circ}{M}\bar{\gamma}$ ποιεῖν $\square^{ον}$. ἀλλ' ὁ $\gamma^{ος}$ μετὰ τοῦ $\alpha^{ου}$ ⋔ $\overset{\circ}{M}\bar{\gamma}$ ἐστιν ς $\bar{\varsigma}$ $\overset{\circ}{M}\bar{\delta}$· ταῦτα ἴσα $\square^{ῳ}$· ἔστω τῷ $\overline{\xi\delta}$, καὶ γίνεται ὁ ς $\overset{\circ}{M}\bar{\iota}$.

20 ἐπὶ τὰς ὑποστάσεις· ἔσται ὁ μὲν $\alpha^{ος}$ $\overset{\circ}{M}\overline{\kappa\gamma}$, ὁ δὲ $\beta^{ος}$ $\overset{\circ}{M}\bar{\pi}$, ὁ δὲ $\gamma^{ος}$ $\overset{\circ}{M}\overline{\mu\delta}$, καὶ ποιοῦσι τὰ τῆς προτάσεως.

---

3 λείψας] λήψει A, λήψη B, ⋔ *Ba*. 5 λείψαντες] ⋔ AB. 8 $\alpha^{\omega\nu}$] πρῶτος A. λείψας *Ba*, λήψει AB. 9 δύο ἑξῆς *Ba*. $\bar{\alpha}$ prius *Ba*, πρώτον AB. 10 λείψει *Ba*, λήψει AB. 12 ἐστὶ A (item 14 cum *Ba*).

IX.

Numero aliquo dato, adinvenire alios tres ita ut summa binorum quorumvis, minus dato, faciat quadratum, et adhuc summa trium, minus dato, faciat quadratum. 11

Esto rursus datus 3 et

$$X_1 + X_2 = x^2 + 3,$$

ut subtrahendo 3 fiat quadratus.

Sit autem

$$X_2 + X_3 = x^2 + 2x + 4$$

et $$X_1 + X_2 + X_3 = x^2 + 4x + 7,$$

ut quoque subtrahendo 3 fiant quadrati.

Quoniam

$X_1 + X_2 + X_3 = x^2 + 4x + 7$, et $X_1 + X_2 = x^2 + 3$,

reliquus ergo $X_3 = 4x + 4$.

Rursus quoniam

$X_2 + X_3 = x^2 + 2x + 4$, et $X_3 = 4x + 4$,

reliquus ergo $X_2 = x^2 - 2x$.

Sed et $X_1 + X_2 = x^2 + 3$, cum $X_2 = x^2 - 2x$; reliquus ergo $X_1 = 2x + 3$.

Oportebit igitur et

$$X_3 + X_1 - 3 \text{ facere } \square.$$

Sed

$$X_3 + X_1 - 3 = 6x + 4.$$

Ista aequentur $\square = 64$. Fiet

$$x = 10.$$

Ad positiones. Erit

$$X_1 = 23, \quad X_2 = 80, \quad X_3 = 44,$$

et proposita faciunt.

ι.

Εὑρεῖν τρεῖς ἀριθμοὺς ὅπως ὁ ὑπὸ δύο ὁποιωνοῦν προσλαβὼν τὸν δοθέντα ἀριθμὸν ποιῇ τετράγωνον.

Ἐπιτετάχθω δὴ τὸν $\overline{\iota\beta}$.

Ἐπεὶ οὖν ζητοῦμεν τὸν ὑπὸ $\alpha^{ου}$ καὶ $\beta^{ου}$ προσλαβόντα τὸν $\overline{\iota\beta}$ ποιεῖν $\square^{ον}$, ἐὰν ἄρα ἀπό τινος $\square^{ου}$ ἀφέλω τὸν $\overline{\iota\beta}$, ἕξω τὸν ὑπὸ $\alpha^{ου}$ καὶ $\beta^{ου}$. ἔστω δὴ ὁ $\square^{ος}$ $\mathring{M}\,\overline{\kappa\varepsilon}$· ἐὰν ἄρα ἀπὸ τούτου ἀφέλω τὸν $\overline{\iota\beta}$, λοιπὸν ἕξω τὸν ὑπὸ $\alpha^{ου}$ καὶ $\beta^{ου}$, $\mathring{M}\,\overline{\iota\gamma}$. ἔστω οὖν ὁ μὲν $\alpha^{ος}$ $\mathring{M}\,\overline{\iota\gamma}$, ὁ δὲ $\beta^{ος}$ $\mathring{M}\,\overline{\alpha}$, καὶ τετάχθωσαν ἐν ϛ^{οῖς} ὥστε τὸν ὑπ' αὐτῶν ποιεῖν $\mathring{M}\,\overline{\iota\gamma}$. καὶ ἔστω ὁ μὲν $\alpha^{ος}$ ϛ $\overline{\iota\gamma}$, ὁ δὲ $\beta^{ος}$ ἀριθμοστοῦ $\langle\overline{\alpha}\rangle$.

ἐὰν δὲ καὶ ἀπὸ ἑτέρου $\square^{ου}$ ἀφέλω $\mathring{M}\,\overline{\iota\beta}$, ἕξω τὸν ὑπὸ $\beta^{ου}$ καὶ $\gamma^{ου}$. ἔστω ἀπὸ τοῦ $\overline{\iota ϛ}$· λοιπὸς ἄρα ὁ ὑπὸ $\beta^{ου}$ καὶ $\gamma^{ου}$ ἔσται $\mathring{M}\,\overline{\delta}$. τετάχθωσαν πάλιν ἐν ϛ^{οῖς} ὥστε ποιεῖν τὸν ὑπ' αὐτῶν $\mathring{M}\,\overline{\delta}$, ὧν ὁ $\beta^{ος}$ ἐστιν ϛ$^{\times}$· λοιπὸς ἄρα ὁ $\gamma^{ος}$ ἔσται ϛ $\overline{\delta}$.

δεήσει ἄρα καὶ τὸν ὑπὸ $\alpha^{ου}$ καὶ $\gamma^{ου}$ μετὰ $\mathring{M}\,\overline{\iota\beta}$ ποιεῖν $\square^{ον}$. ἀλλὰ ὁ ὑπὸ $\alpha^{ου}$ καὶ $\gamma^{ου}$ ἐστὶ $\Delta^{Y}\,\overline{\nu\beta}$. δεήσει ἄρα $\Delta^{Y}\,\overline{\nu\beta}$ μετὰ $\mathring{M}\,\overline{\iota\beta}$ ποιεῖν $\square^{ον}$, καὶ εἰ εἶχον τὸ πλῆθος τῶν $\overline{\iota\gamma}$ $\mathring{M}$ τοῦ $\alpha^{ου}$ $\square^{ον}$, εὐχερὴς ἦν ἡ ἴσωσις. ἀλλ' ἐπεὶ οὐ τοῦτο, ἀπῆκταί μοι εἰς τὸ εὑρεῖν δύο ἀριθμοὺς ὅπως ὁ ὑπ' αὐτῶν ᾖ τετράγωνος καὶ ἔτι ἑκάτερος μετὰ $\mathring{M}\,\overline{\iota\beta}$ ποιῇ τετράγωνον· ἐὰν δὲ ἀντὶ ἀριθμῶν εὕρω τοὺς τετραγώνους, ἔσται ὁ ὑπ' αὐτῶν τετράγωνος. γέγονεν οὖν εὑρεῖν δύο τετραγώνους ὧν ἑκάτερος μετὰ $\mathring{M}\,\overline{\iota\beta}$ ποιεῖ $\square^{ον}$. τοῦτο δὲ ῥᾴδιον καὶ

---

12 $\beta^{ος}$ om. A 1ª m. B, suppl. *Ba.* $\overline{\alpha}$ addidi cum 2ª m. A. 15 τετάχθωσαν .... ϛ $\overline{\delta}$ (17) om. B, non *Ba.* 16 τὸν] τῶν *Ba.* 19 ἀλλ' ὁ *Ba.* 27 ποιῇ *Ba.*

X.

Invenire tres numeros tales ut productus binorum quorumvis plus dato numero faciat quadratum. 12

Proponatur iam 12.

Quoniam postulatur $X_1 X_2 + 12$ facere quadratum, si ab aliquo □ subtraho 12, habebo $X_1 X_2$. Sit iam □ = 25. Si ergo ab eo subtraho 12, reliquum habebo

$$X_1 X_2 = 13.$$

Sint igitur primus 13, secundus 1, (ut termini) in x ita positi ut productus faciat 13. Esto

$$X_1 = 13x, \quad X_2 = \frac{1}{x}.$$

Si nunc ab alio quadrato subtraho 12, habebo $X_2 X_3$; esto a 16; reliquus ergo erit $X_2 X_3 = 4$.

Ponantur item in x ita ut productus faciat 4. Sed $X_2 = \frac{1}{x}$; ergo reliquus erit

$$X_3 = 4x.$$

Oportebit igitur et $X_1 X_3 + 12$ facere quadratum. Sed

$$X_1 X_3 = 52x^2.$$

Oportebit igitur $52x^2 + 12$ facere quadratum et si 13, coefficiens in positione X_1, quadratus esset, facile tractaretur aequatio. Quum autem non ita sit, deducor ad inveniendum duos numeros quorum productus sit quadratus et tales ut uterque addito 12 faciat quadratum. Sed si loco numerorum inveniam quadratos, horum productus erit quadratus. Inveniendi igitur sunt duo quadrati, tales ut uterque plus 12 faciat

εὐχερῆ, ὡς ἔφαμεν, ποιοῦν τὴν ἴσωσιν. καὶ ἔστιν ὁ μὲν $\bar{\delta}$, ὁ δὲ $\delta^{\times}$· ἑκάτερος γὰρ τούτων μετὰ $\mathring{M}\,\overline{\iota\beta}$ ποιεῖ τετράγωνον.

Τούτων εὑρεθέντων ἔρχομαι ἐπὶ τὸ ἐξ ἀρχῆς καὶ 5 τάσσω τὸν μὲν $\alpha^{ον}$ ς $\bar{\delta}$, τὸν δὲ $\beta^{ον}$ $ς^{\times}$, τὸν δὲ $\gamma^{ον}$ ς $\delta^{\times}$. καὶ λοιπόν ἐστι τὸν ὑπὸ $\alpha^{ου}$ καὶ $\gamma^{ου}$ μετὰ $\mathring{M}\,\overline{\iota\beta}$ ποιεῖν $\square^{ον}$. ἀλλ' ὁ ὑπὸ $\alpha^{ου}$ καὶ $\gamma^{ου}$ ἐστὶ $\Delta^{Y}\bar{\alpha}$.

Δ^{Y} ἄρα $\bar{\alpha}$ μετὰ $\mathring{M}\,\overline{\iota\beta}$ ἴση ἐστὶ $\square^{\omega}$.

πλάσσω τὸν $\square^{ον}$ ἀπὸ πλευρᾶς ς $\bar{\alpha}$ $\mathring{M}\,\bar{\gamma}$· αὐτὸς ἄρα 10 ἔσται $\Delta^{Y}\bar{\alpha}$ ς $\bar{ϛ}$ $\mathring{M}\,\bar{\vartheta}$, καὶ γίνεται ὁ ς $∠'$, καὶ μένει τὸ ἐπίταγμα.

ια.

Εὑρεῖν τρεῖς ἀριθμοὺς ὅπως ὁ ὑπὸ δύο ὁποιωνοῦν λείψας τὸν δοθέντα ποιῇ τετράγωνον.

15 Ἐπιτετάχθω δὴ τὸν $\bar{\iota}$.

Ἐπεὶ ζητοῦμεν τὸν ὑπὸ $\alpha^{ου}$ καὶ $\beta^{ου}$, ⋔ $\mathring{M}\,\bar{\iota}$, ποιεῖν $\square^{ον}$, ἐὰν ἄρα τινὶ $\square^{\omega}$ προσθῶ $\mathring{M}\,\bar{\iota}$, ἕξω τὸν ὑπ' αὐτῶν· ἔστω τῷ $\bar{\delta}$. ἔσται ἄρα ὁ ὑπὸ $\alpha^{ου}$ καὶ $\beta^{ου}$ $\mathring{M}\,\overline{\iota\delta}$. ἔστω ὁ $\alpha^{ος}$ $\mathring{M}\,\overline{\iota\delta}$· ὁ ἄρα $\beta^{ος}$ ἔσται $\mathring{M}\,\bar{\alpha}$. καὶ τετάχθω 20 πάλιν ἐν $ς^{οῖς}$ ὥστε τὸν ὑπ' αὐτῶν ποιεῖν $\mathring{M}\,\overline{\iota\delta}$, καὶ ἔστω ὁ μὲν $\alpha^{ος}$ ς $\overline{\iota\delta}$, ὁ δὲ $\beta^{ος}$ $ς^{\times}$.

---

1 εὐχερὲς AB. ποιῶν B. ἔστι *Ba*. 5 ς ante $\delta^{\times}$ om. B, non *Ba*. 10 $∠'$ scripsi, $\bar{\Gamma}$ AB, $\gamma^{ς}$ *Ba*. 14 λήψει AB, ⋔ *Ba*.

quadratum. Hoc autem facile est[1]) et ut diximus tractabilem reddit aequationem. Erunt hi numeri 4 et $\frac{1}{4}$; uterque enim plus 12 facit quadratum.

Illis inventis redeo ad primum propositum et pono

$$X_1 = 4x, \quad X_2 = \frac{1}{x}, \quad X_3 = \frac{1}{4}x.$$

Restat ut et $X_1 X_3 + 12$ faciat $\square$. Sed

$$X_1 X_3 = x^2; \quad \text{ergo} \quad x^2 + 12 = \square.$$

Formo $\square$ a radice $x + 3$; erit ipse

$$\square = x^2 + 6x + 9, \quad \text{et fit} \quad x = \frac{1}{2}.$$

Constat propositum.

XI.

Invenire tres numeros tales ut productus binorum quorumvis, minus dato, faciat quadratum. 13

Proponatur iam 10.

Quoniam postulatur $X_1 X_2 - 10$ facere quadratum, si alicui $\square$ addo 10, habebo $X_1 X_2$; esto $\square = 4$. Erit ergo

$$X_1 X_2 = 14.$$

Sit

$$X_1 = 14; \quad \text{ergo erit} \quad X_2 = 1.$$

Sed rursus ponantur in x, ita ut productus faciat 14; esto

$$X_1 = 14x, \quad X_2 = \frac{1}{x}.$$

1) Secundum problema II, x, bis quaerantur duo quadrati quorum differentia data sit 12. Si ponimus $12 = 6 \times 2$, inveniemus $\left(\frac{6+2}{2}\right)^2 = 16$ et $\left(\frac{6-2}{2}\right)^2 = 4$; si ponimus $12 = 4 \times 3$, habebimus $\left(\frac{4+3}{2}\right)^2 = \frac{49}{4}$ et $\left(\frac{4-3}{2}\right)^2 = \frac{1}{4}$. In utroque pari minorem sumemus; uterque plus 12 facit maiorem.

πάλιν ἐὰν ἑτέρῳ □^{ῳ} προσθῶ Μ̊ ῑ, ἕξω τὸν ὑπὸ τοῦ β^{ου} καὶ γ^{ου}· ἔστω τῷ ϑ̄· ἔσται ἄρα ὁ ὑπὸ β^{ου} καὶ γ^{ου}, Μ̊ ιϑ̄· ὧν ὁ β^{ος} ἐστιν ᾱ ς$^{×}$· λοιπὸς ἄρα ὁ γ^{ος} ἔσται ς ιϑ̄.

5 δεήσει ἄρα καὶ τὸν ὑπὸ γ^{ου} καὶ α^{ου} ⋔ Μ̊ ῑ ⟨ποιεῖν □^{ον}· ἀλλ' ὁ ὑπὸ γ^{ου} καὶ α^{ου} ⋔ Μ̊ ῑ⟩ γίνεται Δ^{Υ} σξς̄ ⋔ Μ̊ ῑ· ταῦτα ἴσα □^{ῳ}. καὶ διὰ τὰ ἐν τῷ πρὸ τούτου εἰρημένα, ἀπῆκταί μοι εἰς τὸ εὑρεῖν δύο τετραγώνους ὧν ἑκάτερος λείψει Μ̊ ῑ ποιεῖ τετράγωνον· τοῦτο δὲ 10 ῥᾴδιον.

[εὑρήσεις γάρ, ζητήσῃς ἄν τίς τετράγωνος λείψει Μ̊ ῑ ποιῇ τετράγωνον· καὶ ἐπεὶ ἐάν τινι ἀριθμῷ προστεθῇ μονάς, καὶ τῶν γενομένων τὸ ἥμισυ τετραγωνίσωμεν, καὶ ἀπὸ τοῦ γενομένου τετραγώνου ἀφέλωμεν 15 τὸν ἐξ ἀρχῆς, ὁ λοιπὸς πάλιν τετράγωνος ἔσται, προστίϑημι ταῖς ῑ Μ̊, Μ̊ ᾱ, καὶ τῶν γενομένων τὸ ἥμισυ, τουτέστι τὰ ε̄ ∠', τετραγωνίσας, ἀπὸ τῶν γενομένων Μ̊ λ̄ δ$^{×}$ ἀφελὼν τὰς Μ̊ ῑ, ἕξω □^{ον} Μ̊ κ̄ δ$^{×}$ ἀπὸ π$^{λ.}$ δ̄ ∠'. τάσσω οὖν τὸν μὲν α^{ον} λ̄ δ$^{×}$, τὸν δὲ γ^{ον} Δ^{Υ} ᾱ· δεήσει

---

3 ᾱ ς$^{×}$ scripsi, ἐστιν ὁ ς' A, ἐστιν ς̄ B, ἐστιν ὁ ᾱ^{ς} *Ba* qui sic hanc fractionem falso notat. 5/6 ποιεῖν τετράγωνον suppl. *Ba*. 6 ἀλλ' ὁ ὑπὸ γ^{ου} καὶ α^{ου} ⋔ Μ̊ ῑ addidi. γίνεται δὲ *Ba*. σξζ̄ B, corr. *Ba*. 9 ποιῇ *Ba*. 11 Locum εὑρήσεις . . . ποιοῦσι □^{ους} (p. 164, 6) suspicari licet; libenter multo simplicius scriberem: καὶ ἔστιν ὁ μὲν λ̄ δ$^{×}$, ὁ δὲ ιβ̄ δ$^{×}$, οἵτινες κ. τ. ἑ. (p. 164, 5). γὰρ ἐὰν *Ba*. ζητήσεις AB. 15 τὸ ἐξ B, non *Ba*. 16 ταῖς Μ̊ ῑ *Ba*. 17 ε̄ om. B, non *Ba*.

Si rursus alteri quadrato addo 10, habebo $X_2 X_3$; esto [quadrato] 9; erit igitur

$$X_2 X_3 = 19; \quad \text{sed} \quad X_2 = \frac{1}{x}: \quad \text{ergo} \quad X_3 = 19x.$$

Oportebit adhuc $X_3 X_1 - 10$ ⟨facere □. Sed

$X_3 X_1 - 10⟩ = 266x^2 - 10$; ista aequanda □.

Secundum ea quae in praecedenti dicta sunt, deducor ad inveniendum duos quadratos quorum uterque, minus 10, faciat quadratum. Quod facile est [et invenies[1]) quaerendo quis quadratus minus 10 faciat quadratum.

Et quoniam, si alicui numero additur unitas, dimidiaque summa quadratur et a quadrato sic formato subtrahimus numerum ab initio sumptum, residuus rursus quadratus erit, addo 10 et 1, dimidiam summam, nempe $5\frac{1}{2}$, quadro et ab eo qui fit, $30\frac{1}{4}$, subtrahens 10, quadratum habebo $20\frac{1}{4}$ a radice $4\frac{1}{2}$.

Pono[2]) igitur $X_1 = 30\frac{1}{4}$ et $X_3 = x^2$.

---

1) Vix ea quae uncis inclusi genuina credo. Satis erat dicere ut in praecedenti: 'Erunt hi quadrati $30\frac{1}{4}$ et $12\frac{1}{4}$; uterque enim minus 10, facit quadratum.'
Si nempe (secundum II, x) ponimus $10 = 10 \times 1$, invenientur quadrati quorum differentia sit 10: $\left(\frac{10+1}{2}\right)^2 = 30\frac{1}{4}$ et $\left(\frac{10-1}{2}\right)^2 = 20\frac{1}{4}$. Si ponimus $10 = 5 \times 2$, inveniemus: $\left(\frac{5+2}{2}\right)^2 = 12\frac{1}{4}$ et $\left(\frac{5-2}{2}\right)^2 = 2\frac{1}{4}$. In utroque pari maiorem quadratum sumemus.

2) Melius dictum fuisset: $X_1 X_2 = 30\frac{1}{4}$ et $X_2 X_3 = x^2$. Sed numeros auxiliares, de quibus agitur, ad postulatos sic referri et longiore via obtineri, omnino displicet.

ἄρα καὶ ἀπὸ $\Delta^{Y}\bar{\alpha}$ ἀφαιρεθεισῶν $\mathring{M}\,\bar{\iota}$ τὸν λοιπὸν γίνεσθαι $\square^{ον}$. Δ^{Y} ἄρα $\bar{\alpha}$ ⋔ $\mathring{M}\,\bar{\iota}$ ἴση ἐστὶ $\square^{ῳ}$· πλάσσω τὸν $\square^{ον}$ ἀπὸ $\pi^{λ}$. ς $\bar{\alpha}$ ⋔ $\mathring{M}\,\bar{\beta}$· αὐτὸς ἄρα ἔσται $\Delta^{Y}\bar{\alpha}$ $\mathring{M}\,\bar{\delta}$ ⋔ ς $\bar{\delta}$, καὶ γίνεται ὁ ς $\mathring{M}\,\bar{\gamma}$ ∟΄. ἐπεὶ ἔταξα τὸν $\gamma^{ον}$
5 $\Delta^{Y}\bar{\alpha}$, ἔσται $\overline{\iota\beta}$ δ^{X}. ἔστι δὲ καὶ ὁ $\alpha^{ος}$ $\bar{\lambda}$ δ^{X}· οἵτινες ⋔ $\mathring{M}\,\bar{\iota}$ ποιοῦσι $\square^{ους}$.]

Ἔρχομαι ἐπὶ τὸ ἐξ ἀρχῆς ζητούμενον καὶ τάσσω τὸν $\alpha^{ον}$ ς $\bar{\lambda}$ δ^{X}, τὸν δὲ $\beta^{ον}$ ς^{X}, τὸν δὲ $\gamma^{ον}$ ς $\overline{\iota\beta}$ δ^{X}, λοιπὸν δὴ τὸν ὑπὸ $\alpha^{ου}$ καὶ $\gamma^{ου}$ γίνεσθαι Δ^{Y} $\overline{\tau o}$ ∟΄ ις^{X}·
10 οὗτος ἄρα ⋔ $\mathring{M}\,\bar{\iota}$ ἴσος ἐστὶ $\square^{ῳ}$· καὶ ἵνα ὅλαι Δ^{Y} ὦσι, ποιῶ αὐτὰς ις^{κις}.

Δ^{Y} ἄρα $\overline{{}_{,}\epsilon\text{ϡ}\kappa\vartheta}$ ⋔ $\mathring{M}\,\overline{\rho\xi}$ ἴσαι $\square^{ῳ}$ τῷ ἀπὸ $\pi^{λ}$. ς $\overline{o\zeta}$ ⋔ $\mathring{M}\,\bar{\beta}$, τουτέστι Δ^{Y} $\overline{{}_{,}\epsilon\text{ϡ}\kappa\vartheta}$ $\mathring{M}\,\bar{\delta}$ ⋔ ς $\overline{\tau\eta}$. καὶ γίνεται ὁ ς $\overset{o\zeta}{\overline{\mu\alpha}}$.

15 ἔταξα τὸν $\alpha^{ον}$ ς $\bar{\lambda}$ δ^{X}, ἔσται $\overset{o\zeta}{\overline{{}_{,}\alpha\sigma\mu}}$ δ^{X}· τὸν δὲ $\beta^{ον}$ ς^{X}, ἔσται $\overset{\mu\alpha}{\overline{o\zeta}}$· τὸν δὲ $\gamma^{ον}$ ς $\overline{\iota\beta}$ δ^{X}, ἔσται $\overset{o\zeta}{\overline{\varphi\beta}}$ δ^{X}· καὶ μένει τὰ τῆς προτάσεως.

ιβ.

Εὑρεῖν τρεῖς ἀριθμοὺς ὅπως ὁ ὑπὸ δύο ὁποιωνοῦν
20 προσλαβὼν τὸν λοιπὸν ποιῇ τετράγωνον.

Ἐπεὶ ζητοῦμεν τὸν ὑπὸ $\alpha^{ου}$ καὶ $\beta^{ου}$ προσλαβόντα

---

1 καὶ ὁ ἀπὸ B, non *Ba*. 9 δὴ A, δεῖ B, unde pro γίνεσθαι suppl. *Ba:* λείψει $\mathring{M}\,\bar{\iota}$ γίνεσθαι τετράγωνον, ὁ δὲ ὑπὸ πρώτου καὶ τρίτου ἐστί. 14 $\overline{\mu\alpha}^{o\zeta}$ *Ba*, μονὰς μία AB, $\mathring{\mu}\iota$ $\overset{\zeta}{\alpha}$ V, $\mathring{\mu}$ $\overset{\iota\zeta}{\mu\alpha}$ A rec. m. 15/16 Denom. suppl. *Ba*, numeros $\overset{\tau\eta}{\overline{{}_{,}\delta\text{ϡ}\xi\alpha}}$, $\overset{\mu\alpha}{\overline{o\zeta}}$, $\overset{\tau\eta}{{}_{,}\beta\vartheta}$ exhibet *Auria*.

Oportebit quoque, si ab x^2 subtraho 10, fieri quadratum; ergo $x^2 - 10 = \square$, quem formo a radice $(x - 2)$; erit ipse $\square = x^2 + 4 - 4x$ et fit $x = 3\frac{1}{2}$. Posui $X_3 = x^2$, erit $12\frac{1}{4}$: sed iam habemus $X_1 = 30\frac{1}{4}$. Ambo illi, minus 10, faciunt quadratos.]

Revertor ad primum quaesitum et pono

$$X_1 = \left(30\tfrac{1}{4}\right)x, \quad X_2 = \frac{1}{x}, \quad X_3 = \left(12\tfrac{1}{4}\right)x,$$

et insuper nempe fieri

$$X_1 X_3 = \left(370\tfrac{1}{2}\tfrac{1}{16}\right)x^2.$$

Iste, minus 10, aequalis est $\square$; ut autem coefficiens x^2 integer sit, 16^{ies} eum sumo. Ergo

$$5929x^2 - 160 = \square \text{ a radice } (77x - 2),$$

hoc est

$$= 5929x^2 + 4 - 308x,$$

et fit

$$x = \frac{41}{77}.$$

Posui

$$X_1 = \left(30\tfrac{1}{4}\right)x, \quad \text{erit } \frac{1240\frac{1}{4}}{77};$$

$$X_2 = \frac{1}{x}, \quad \text{erit } \frac{77}{41};$$

$$X_3 = \left(12\tfrac{1}{4}\right)x, \quad \text{erit } \frac{502\frac{1}{4}}{77},$$

et constat propositum.

XII.

Invenire tres numeros tales ut productus binorum quorumvis plus reliquo faciat quadratum. 14

Quoniam quaerimus $X_1 X_2 + X_3$ facere $\square$, si

τὸν λοιπὸν ποιεῖν $\square^{ον}$, ἐὰν ἄρα ἐκθέμενοί τινα $\square^{ον}$, μέρος μέν τι αὐτοῦ τάξωμεν τὸν $γ^{ον}$, τὸν δὲ λοιπὸν τὸν ὑπὸ $α^{ου}$ καὶ $β^{ου}$, λύσομεν ἓν τῶν ἐπιταγμάτων. πεπλάσθω ὁ $\square^{ος}$ ἀπὸ ς $\bar{α}$ M̊ $\bar{γ}$· αὐτὸς ἄρα ἔσται $Δ^{Y}\bar{α}$ ς $\bar{ς}$ M̊ $\bar{θ}$· τετάχθω ὁ $γ^{ος}$ M̊ $\bar{θ}$· λοιπὸς ἄρα ἔσται ὁ ὑπὸ $α^{ου}$ καὶ $β^{ου}$ $Δ^{Y}\bar{α}$ ς $\bar{ς}$. τετάχθω ὁ $α^{ος}$ ς $\bar{α}$· λοιπὸς ἄρα ὁ $β^{ος}$ ἔσται ⟨ς $\bar{α}$ M̊ $\bar{ς}$. δεήσει ἄρα καὶ τὸν ὑπὸ $β^{ου}$ καὶ $γ^{ου}$ προσλαβόντα τὸν $α^{ον}$ καὶ γινόμενον⟩ ς $\bar{ι}$ M̊ $\overline{νδ}$ ἴσον εἶναι $\square^{ῳ}$ καὶ ἔτι τὸν ὑπὸ $γ^{ου}$ καὶ $α^{ου}$ προσλαβόντα τὸν $β^{ον}$ καὶ γινόμενον ς $\bar{ι}$ M̊ $\bar{ς}$ ἴσον πάλιν γίνεσθαι $\square^{ῳ}$. καὶ γίνεται διπλῆ ἡ ἰσότης, καὶ ἔστιν αὐτῶν ὑπεροχὴ M̊ $\overline{μη}$.

δεήσει ἄρα εὑρεῖν δύο τετραγώνους ἐν ὑπεροχῇ M̊ $\overline{μη}$· τοῦτο δὲ ῥᾴδιον καὶ ἀπειραχῶς γίνεται· καὶ ἔστιν ὁ μὲν ἐλάσσων M̊ $\overline{ις}$, ὁ δὲ μείζων M̊ $\overline{ξδ}$, καὶ πρὸς ὁποῖον ἂν αὐτῶν ποιήσωμαι τὴν ἰσότητα, εὑρήσω τὴν ὑπόστασιν τοῦ $ς^{οῦ}$· ἐάν τε γὰρ φήσωμεν τὰς τοῦ μείζονος M̊ $\overline{ξδ}$ ἴσας εἶναι ς $\bar{ι}$ M̊ $\overline{νδ}$, συνάγεται ὁ ς M̊ $\bar{α}$· ἐάν τε πάλιν φήσωμεν τὰς τοῦ ἐλάσσονος M̊ $\overline{ις}$ ἴσας εἶναι ς $\bar{ι}$ M̊ $\bar{ς}$, συνάγεται ὁ ς M̊ $\bar{α}$.

ἐπὶ τὰς ὑποστάσεις. ἔσται ὁ μὲν $α^{ος}$ M̊ $\bar{α}$, ὁ δὲ $β^{ος}$ M̊ $\bar{ζ}$· ἔστι δὲ καὶ ὁ $γ^{ος}$ M̊ $\bar{θ}$, καὶ ποιοῦσι τὸ ἐπίταγμα.

ιγ.

Εὑρεῖν τρεῖς ἀριθμοὺς ὅπως ὁ ὑπὸ δύο ὁποιωνοῦν λείψας τὸν λοιπὸν ποιῇ τετράγωνον.

---

3 *λύσωμεν* AB. 5 *τετάχθω ὁ $γ^{ος}$ M̊ $\bar{θ}$* A supra lineam 2ª m., om. B, *ἔστω δὲ ὁ τρίτος M̊ θ* suppl. *Ba*, *ἐὰν ἄρα ἀπὸ τούτου ἀφέλω M̊ $\bar{θ}$* *Auria*. 7/8 Supplevi cum *Ba* nisi quod addidi *ἄρα* post *δεήσει* et *καὶ γινόμενον* scripsi pro *τουτέστι*. *Auria* dat: ς $\bar{α}$ M̊ $\bar{ς}$· *δεήσει ἄρα καὶ τὸν ὑπὸ β′ καὶ γ′ μετὰ τοῦ*

sumpto aliquo quadrato, partem quandam ipsius ponimus X_3, et reliquam $X_1 X_2$, unam conditionem solvemus.

Formetur □ ab $(x + 3)$; erit ipse $x^2 + 6x + 9$. Ponatur $X_3 = 9$; ergo residuus $X_1 X_2 = x^2 + 6x$. Ponatur $X_1 = x$; ergo reliquus $X_2 = \langle x + 6$.

Oportebit igitur et $X_2 X_3 + X_1$, qui fit$\rangle$

$$10x + 54, \ = \square,$$

et adhuc $X_3 X_1 + X_2$, qui fit $10x + 6$, $= \square$.

Fit dupla aequatio, et est illorum differentia 48. Oportebit igitur invenire duos quadratos quorum differentia sit 48; quod est facile et fit infinitis modis.

Tales sunt minor $= 16$ et maior $= 64$; cuilibet horum aequationem faciam, valorem x inveniam. Si enim dico maiorem

$$64 = 10x + 54, \quad \text{concluditur} \quad x = 1;$$

si rursus dico minorem

$$16 = 10x + 6, \quad \text{concluditur} \quad x = 1.$$

Ad positiones. Erit $X_1 = 1$, $X_2 = 7$; est autem $X_3 = 9$, et conditioni satisfaciunt.

XIII.

Invenire tres numeros tales ut productus binorum quorumvis minus reliquo faciat quadratum. 15

α′ ποιεῖν □. *ἀλλὰ ὁ ὑπὸ β′ καὶ γ′ μετὰ τοῦ α′ ἐστι* ς ῑ $\overset{\circ}{M}$ $\overline{νδ}$· *δεῖ ἄρα.* 10 *καὶ γινόμενον* scripsi, *ἀριθμὸν γίνεσθαι* AB, *τουτέστιν* *Ba*, *ἴσους γίνεσθαι* □^{ῳ} *Auria* qui pergit: ς ῑ *ἄρα* $\overset{\circ}{M}$ $\overline{ξ}$ *ἴσον πάλιν γί.* □^{ῳ} *καὶ κ. τ. ἑ.* (11). 13 *δεήσει* .... $\overset{\circ}{M}$ $\overline{μη}$ (14) A*Ba*, om. B. 19 *ἐλάττονος* B, non *Ba*. 20 ῑ *Ba*, ᾱ A, *ἑνὶ* B. 26 *λείψας* *Ba*, *λήψει* A, *λήψη* B.

Τετάχθω ὁ $α^{ος}$ ς ᾱ, ὁ δὲ $β^{ος}$ ς ᾱ M̊ δ̅· ὁ ἄρα ὑπ' αὐτῶν ἔσται $Δ^{Υ}$ ᾱ ς δ̅. δεήσει ἄρα τοῦτον λείψαντα τὸν $γ^{ον}$ ποιεῖν $□^{ον}$· ἐὰν οὖν τὸν $γ^{ον}$ τάξω ς δ̅, ⟨λυθήσεται ἓν τῶν ἐπιταγμάτων.

5 δεήσει ἄρα καὶ τὸν ὑπὸ $β^{ου}$ καὶ $γ^{ου}$ λείψαντα τὸν $α^{ον}$ ποιεῖν $□^{ον}$⟩, καὶ τὸν ὑπὸ $γ^{ου}$ καὶ $α^{ου}$ λείψαντα τὸν $β^{ον}$ ποιεῖν $□^{ον}$· ἀλλ' ὁ μὲν ὑπὸ $β^{ου}$ καὶ $γ^{ου}$ λείψας τὸν $α^{ον}$ ἐστι $Δ^{Υ}$ δ̅ ς ι̅ε̅, ἴσος $□^{ῳ}$· ὁ δὲ ὑπὸ $γ^{ου}$ καὶ $α^{ου}$ λείψας τὸν $β^{ον}$ ἐστι $Δ^{Υ}$ δ̅ ⋔ ς ᾱ M̊ δ̅ ἴσος $□^{ῳ}$.

10 καὶ γίνεται πάλιν διπλῆ ἡ ἴσωσις· τῆς γὰρ ὑπεροχῆς αὐτῶν τυγχανούσης ς ι̅ϛ̅ M̊ δ̅, ζητῶ δύο ἀριθμοὺς ὧν τὸ ὑπὸ ποιεῖ ς ι̅ϛ̅ M̊ δ̅· εἰσὶ δὲ M̊ δ̅ καὶ ς δ̅ M̊ ᾱ.

πάλιν οὖν ἢ τῆς συνθέσεως τούτων τὸ ἥμισυ ἐφ' ἑαυτὸ ἴσον ἐστὶ τῷ μείζονι, ἢ τῆς ὑπεροχῆς τὸ ἥμισυ

15 ἐφ' ἑαυτὸ ἴσον τῷ ἐλάσσονι, καὶ συνάγεται ὁ ς κ̅ε̅.

ἔσται ὁ μὲν $α^{ος}$ κ̅ε̅, ὁ δὲ $β^{ος}$ ρ̅ε̅, ὁ δὲ $γ^{ος}$ ρ̅, καὶ μένει τὰ τῆς προτάσεως.

ιδ.

Εὑρεῖν τρεῖς ἀριθμοὺς ὅπως ὁ ὑπὸ δύο ὁποιωνοῦν 20 προσλαβὼν τὸν ἀπὸ τοῦ λοιποῦ τετράγωνον ποιῇ τετράγωνον.

3—6 Suppl. *Ba*: λύσωμεν ἓν τῶν ἐπιταγμάτων. λοιπὸν δὴ καὶ τὸν ὑπὸ δευτέρου καὶ τρίτου ⋔ τὸν πρῶτον ποιεῖν τετράγωνον καὶ ἔτι (omisso καὶ 6). *Auria* λοιπὸς ἔσται $□^{ος}$· δεήσει ἄρα καὶ τὸν ὑπὸ β' καὶ γ' ⋔ τοῦ α' ποιεῖν τετράγωνον. A in mg. 2ª m.: κείμενον· ἔσται ὁ ὑπὸ $α^{ου}$ καὶ $β^{ου}$ ⋔ τοῦ $γ^{ου}$ ποιῶν $□^{ον}$· δεήσει ἄρα τὸν ὑπὸ $β^{ου}$ καὶ $γ^{ου}$ ⋔ τοῦ $α^{ου}$ ποιεῖν $□^{ον}$ καὶ ἔτι τὸν ὑπὸ $γ^{ου}$ καὶ $α^{ου}$ ⋔ τοῦ $β^{ου}$ ποιεῖν $□^{ον}$ (7). Ex quibus mea conflavi. 6 καὶ πρώτου *Ba*, ἀριθμοῦ ᾱ A, ἀριθμοῦ ἑνὸς B. 12 ποιῇ *Ba*. εἰσὶ *Ba*, ἔστι AB. 13 ἢ om.

Ponatur

$$X_1 = x, \quad X_2 = x + 4;$$

erit ergo

$$X_1 X_2 = x^2 + 4x.$$

Oportet istum, minus X_3, facere quadratum; ergo, si pono $X_3 = 4x$, ⟨unam conditionem solvemus.

Oportebit adhuc

$$X_2 X_3 - X_1 \text{ facere } \square\rangle,$$

et

$$X_3 X_1 - X_2 \text{ facere } \square.$$

Sed

$$X_2 X_3 - X_1 \text{ est } 4x^2 + 15x = \square$$

et

$$X_3 X_1 - X_2 \text{ est } 4x^2 - x - 4 = \square,$$

et fit rursus dupla aequatio. Quum illorum differentia sit $16x + 4$, quaero duos numeros quorum productus sit $16x + 4$; sunt hi 4 et $4x + 1$.

Rursus igitur vel horum dimidia summa in seipsam aequalis est maiori vel dimidia differentia in seipsam aequalis minori, et concluditur $x = \frac{25}{20}$.

Erit

$$X_1 = \frac{25}{20}, \; X_2 = \frac{105}{20}, \; X_3 = \frac{100}{20},$$

et constat propositum.

XIV.

Invenire tres numeros tales ut productus binorum quorumvis, plus quadrato reliqui, faciat quadratum. 16

B, non *Ba*. 14 τῆς ὑπεροχῆς *Ba*, τις ὑπερέχη A, τις ὑπερέχει B. 15 ἐλάττονι B, non *Ba*. 15/16 Denom. suppl. *Ba* (item p. 170, 7 et 8). 20 τοῦ om. B.

Τετάχθω ὁ $α^{ος}$ ϛ α̅, ὁ δὲ $β^{ος}$ ϛ δ̅ M̊ δ̅, ὁ δὲ $γ^{ος}$ M̊ α̅, ἵνα ᾖ λελυμένα δύο τῶν ἐπιταγμάτων.

λοιπόν ἐστι καὶ τὸν ὑπὸ $γ^{ου}$ καὶ $α^{ου}$ προσλαβόντα τὸν ἀπὸ τοῦ $β^{ου}$, ποιεῖν $□^{ον}$. ἀλλ' ὁ ὑπὸ $γ^{ου}$ καὶ $α^{ου}$ 5 προσλαβὼν τὸν ἀπὸ τοῦ $β^{ου}$ ποιεῖ $Δ^{Υ}$ ι̅ϛ̅ ϛ λ̅γ̅ M̊ ι̅ϛ̅· ταῦτα ἴσα $□^{ῳ}$ τῷ ἀπὸ πλευρᾶς ϛ δ̅ ⋔ M̊ ε̅ τούτεστι $Δ^{Υ}$ ι̅ϛ̅ M̊ κ̅ε̅ ⋔ ϛ μ̅· καὶ γίνεται ὁ ϛ $\overset{ογ}{ϑ̅}$.

ἔσται ὁ μὲν $α^{ος}$ $\overset{ογ}{ϑ̅}$, ὁ δὲ $β^{ος}$ τ̅κ̅η̅, ὁ δὲ $γ^{ος}$ ο̅γ̅, καὶ ποιοῦσι τὸ πρόβλημα.

10 *ιε.*

Εὑρεῖν τρεῖς ἀριθμοὺς ὅπως ὁ ὑπὸ δύο ὁποιωνοῦν προσλαβὼν συναμφότερον ποιῇ τετράγωνον.

Πάντων δὴ δύο τετραγώνων κατὰ τὸ ἑξῆς ὁ ὑπὸ προσλαβὼν συναμφότερον ποιεῖ τετράγωνον.

15 *Τετάχθω τοίνυν ὁ μὲν $α^{ος}$ M̊ δ̅, ὁ δὲ $β^{ος}$ M̊ ϑ̅, ἵνα ὁ ὑπ' αὐτῶν γενόμενος $□^{ος}$ M̊ λ̅ϛ̅, προσλαβὼν συναμφότερον, ποιῇ $□^{ον}$. λοιπόν ἐστι καὶ τὸν ὑπὸ $β^{ου}$ καὶ $γ^{ου}$ προσλαβόντα συναμφότερον καὶ ἔτι τὸν ὑπὸ $γ^{ου}$ καὶ $α^{ου}$ προσλαβόντα συναμφότερον ποιεῖν $□^{ον}$.*

20 *τετάχθω ὁ $γ^{ος}$ ϛ α̅, καὶ γίνεται ὁ ὑπὸ $β^{ου}$ καὶ $γ^{ου}$, προσλαβὼν συναμφοτέρους, ϛ ι̅ M̊ ϑ̅ ἴσος $□^{ῳ}$, καὶ ἔτι ὁ ὑπὸ $γ^{ου}$ καὶ $α^{ου}$, προσλαβὼν συναμφοτέρους, ϛ ε̅ M̊ δ̅ ἴσος $□^{ῳ}$ καὶ γίνεται πάλιν καὶ ἐνταῦθα διπλῆ ἡ ἴσωσις καὶ ἔστιν ἡ ὑπεροχὴ ϛ ε̅ M̊ ε̅. ζητῶ οὖν πάλιν δύο 25 ἀριθμοὺς ὧν τὸ ὑπό ἐστιν ϛ ε̅ M̊ ε̅. καί εἰσιν ὧν τὸ*

---

1 ᾱ prius *Ba*, om. AB. 5 *ποιεῖ Ba*, *γίνεται* B, *ποιεῖ* $γί^{αι}$ A. *καὶ* ante M̊ add. *Ba*. 13 *δὴ* scripsi, *δὲ* AB. 14 *ποιῇ Ba*. 15 δ̅, ὁ δὲ M̊ om. AB, suppl. *Ba*. 21 ϑ̅ *Ba*, om. AB. 25 *ἐστι Ba*. *ὧν τὸ ὑπὸ ποιεῖ τὴν ὑπεροχὴν* (p. 172, 1) om. *Ba*.

Ponatur

$$X_1 = x, \quad X_2 = 4x + 4, \quad X_3 = 1,$$

ut satisfiat duabus conditionibus.

Restat ut $X_3 X_1 + X_2^2$ faciat quadratum. Sed $X_3 X_1 + X_2^2$ facit $16x^2 + 33x + 16$. Ista aequentur $\square$ a radice $(4x - 5)$, hoc est $16x^2 + 25 - 40x$; fit $x = \frac{9}{73}$.

Erit

$$X_1 = 9, \quad X_2 = 328, \quad X_3 = 73,$$

et problema solvunt.

XV.

Invenire tres numeros tales ut productus binorum quorumvis plus summa amborum faciat quadratum. 17

Quorumvis iam quadratorum duorum ex ordine sumptorum productus plus summa amborum facit quadratum.

Ponatur igitur

$$X_1 = 4, \quad X_2 = 9,$$

ut productus, quadratus nempe 36, plus summa amborum, faciat quadratum. Restat ut et

$$X_2 X_3 + (X_2 + X_3) \quad \text{et adhuc} \quad X_3 X_1 + (X_3 + X_1)$$

faciant quadratos.

Ponatur $X_3 = x$. Fit

$$X_2 X_3 + (X_2 + X_3) = 10x + 9 = \square$$
$$X_3 X_1 + (X_3 + X_1) = 5x + 4 = \square.$$

Et rursus fit hîc dupla aequatio et est differentia $5x + 5$. Quaero igitur rursus duos numeros quorum productus sit $5x + 5$.

ὑπὸ ποιεῖ τὴν ὑπεροχήν, ὃς μὲν ς ᾱ M̊ ᾱ, ὃς δὲ M̊ ε̅.
καὶ ὁμοίως [τὸ ἐν τῷ δευτέρῳ] ἢ τῆς συνθέσεως αὐ-
τῶν τὸ ἥμισυ ἐφ' ἑαυτὸ ἴσον τῷ μείζονι ἢ τῆς ὑπερ-
οχῆς τὸ ἥμισυ ⟨ἐφ' ἑαυτὸ⟩ ἴσον τῷ ἐλάσσονι, καὶ γί-
5 νεται ὁ ς M̊ κ̅η̅.

καὶ ἔστιν ὁ μὲν αος M̊ δ̅, ὁ δὲ βος M̊ θ̅, ὁ δὲ γος M̊ κ̅η̅. καὶ ποιοῦσι τὰ τῆς προτάσεως.

Ἄλλως.

Εὑρεῖν ἀριθμοὺς τρεῖς ὅπως ὁ ὑπὸ δύο ὁποιωνοῦν
10 προσλαβὼν συναμφότερον ποιῇ τετράγωνον.

Τετάχθω ὁ μὲν αος ς ᾱ, ὁ δὲ βος M̊ γ̅, καὶ γίνεται ὁ ὑπ' αὐτῶν μετὰ συναμφοτέρων ς δ̅ M̊ γ̅· ταῦτα ἴσα □ῳ· ἔστω M̊ κ̅ε̅, καὶ γίνεται ὁ ς M̊ ε̅ ∟′. ἔσται ὁ μὲν αος M̊ ε̅ ∟′, ὁ δὲ βος M̊ γ̅, καὶ λέλυται ἓν τῶν ἐπι-
15 ταγμάτων· ὁ γὰρ ὑπ' αὐτῶν μετὰ συναμφοτέρων ποιεῖ τὸν κ̅ε̅ □ον. δεήσει ἄρα καὶ τὸν ὑπὸ βου καὶ γου, καὶ ἔτι τὸν ὑπὸ γου καὶ αου, προσλαβόντα συναμφότερον, ποιεῖν □ον.

τετάχθω ὁ γος ς ᾱ, καὶ γίνεται ὁ μὲν ὑπὸ βου καὶ
20 γου προσλαβὼν συναμφοτέρους πάλιν ς δ̅ M̊ γ̅, ὁ δὲ ὑπὸ

---

2 τοῖς ἐν *Ba*. τὸ ἐν τῷ δευτέρῳ interpolata censeo. Non secundus liber (II, x), sed problema III, xiii, (τὸ δεύτερον πρὸ τούτου) indicatur. 4 ἐφ' ἑαυτὸ suppl. *Ba*. ἐλάττονι B, non *Ba*. 7 τὰ τῆς προτάσεως A *Ba*, τὸ πρόβλημα B. 8 Ἄλλως om. *Ba*. 9 τρεῖς ἀριθμοὺς *Ba*.

Sunt hi (quorum productus facit differentiam), alter $x + 1$, alter 5, et similiter [quod in secundo[1])] vel horum dimidia summa in seipsam aequalis est maiori, vel dimidia differentia in seipsam aequalis minori. Fit $x = 28$.

Erit

$$X_1 = 4, \quad X_2 = 9, \quad X_3 = 28,$$

et proposita faciunt.

Aliter.[2])

Invenire tres numeros tales ut productus binorum quorumvis plus summa amborum faciat quadratum. 18

Ponatur

$$X_1 = x, \quad X_2 = 3.$$

Fit

$$X_1 X_2 + (X_1 + X_2) = 4x + 3.$$

Ista aequentur □, esto 25, et fit $x = 5\frac{1}{2}$.

Erit

$$X_1 = 5\tfrac{1}{2}, \quad X_2 = 3.$$

Una conditio soluta est; horum enim productus plus summa amborum facit quadratum 25. Oportebit adhuc et

$$X_2 X_3 + (X_2 + X_3) \quad \text{et} \quad X_3 X_1 + (X_3 + X_1)$$

facere quadratos.

Ponatur

$$X_3 = x;$$

fit ergo: rursus

$$X_2 X_3 + (X_2 + X_3) = 4x + 3,$$

1) Vocem 'similiter' interpretatus est scholiasta et ad secundum antecedens problema retulit, non ad secundum librum.

2) Haec altera solutio omnino genuina videtur.

γ^{ου} καὶ α^{ου} ς ϛ̄ ∠′ M̊ ε̄ ∠′, ἴσος ἑκάτερος □^{ῳ}· καὶ διὰ τὸ πλεονάζειν ἐν τῷ ἑτέρῳ τὸ πλῆθος τῶν ς καὶ τῶν M̊, καὶ μηδὲ λόγον αὐτοὺς ἔχειν ὃν □^{ος} πρὸς □^{ον}, σχολάζει ἡ γεγενημένη ὑπόστασις.

5 ἀπῆκται οὖν ⟨εἰς τὸ⟩ εὑρεῖν δύο ἀριθμοὺς ὅπως ὁ ὑπ᾽ αὐτῶν μετὰ συναμφοτέρων ποιῇ τετράγωνον, καὶ ἔτι ⟨οἱ μονάδι μείζονες αὐτῶν⟩ πρὸς ἀλλήλους λόγον ἔχωσιν ὃν τετράγωνος πρὸς τετράγωνον.

Ἐπεὶ ἐὰν ἀριθμὸς ἀριθμοῦ ᾖ τετραπλασίων καὶ M̊ γ̄ 10 μείζων, οἱ μονάδι μείζονες αὐτῶν πρὸς ἀλλήλους λόγον ἔχουσιν ὃν □^{ος} ἀριθμὸς πρὸς □^{ον} ἀριθμόν, τάσσω τὸν μὲν α^{ον} ς ᾱ, τὸν δὲ β^{ον} ς δ̄ M̊ γ̄. δεῖ λοιπὸν τὸν ὑπ᾽ αὐτῶν μετὰ συναμφοτέρων ἴσον εἶναι □^{ῳ}· ἀλλ᾽ ὁ ὑπ᾽ αὐτῶν μετὰ συναμφοτέρων ἐστὶν Δ^{Υ} δ̄ ς η̄ M̊ γ̄· ταῦτα 15 ἴσα □^{ῳ}.

πλάσσω τὸν □^{ον} ἀπὸ ς β̄ ⋔ M̊ γ̄· καὶ γίνεται ὁ □^{ος}, Δ^{Υ} δ̄ M̊ θ̄ ⋔ ς ιβ̄· καὶ γίνεται ὁ ς $\overset{\kappa}{\bar{\bar{\varsigma}}}$ τουτέστι $\overset{\iota}{\bar{\bar{\gamma}}}$. ἔσται ὁ μὲν α^{ος} $\overset{\iota}{\bar{\bar{\gamma}}}$, ὁ δὲ β^{ος} $\overset{\iota}{\overline{\overline{\mu\beta}}}$ τουτέστι M̊ δ̄ ε^{Χ} καὶ μένει ἓν τῶν ἐπιταγμάτων.

20 λοιπόν ἐστι τὸν ὑπὸ β^{ου} καὶ γ^{ου} μετὰ συναμφοτέρων ποιεῖν □^{ον}. τάσσω τὸν γ^{ον} ς ᾱ· ἔστι δὲ καὶ ὁ β^{ος} M̊ δ̄ ε^{Χ}· γίνεται ὁ ὑπ᾽ αὐτῶν μετὰ συναμφοτέρων ς ε̄ ε^{Χ} M̊ δ̄ ε^{Χ}· ταῦτα ἴσα □^{ῳ}.

---

1 α^{ου}] *Ba* addit προσλαβὼν συναμφοτέρους quod desiderari potest. 5 εἰς τὸ suppl. *Ba*. 6 συναμφότερον A, συναμφοτέρου B (item 13, 20). 7 οἱ μονάδι μείζονες αὐτῶν suppl. *Ba*. 9 τετραπλασίων om. 1ª m. A; 2ª scripsit τρι$^{πλ.}$ 14 ἐστὶ *Ba*. 17/18 Denom. hab. AB. 18 M̊ om. *Ba*. 20 γ^{ου}] *Ba* addit: καὶ ἔτι τὸν ὑπὸ τρίτον καὶ πρῶτον. 23 □^{ῳ}] AB addunt: ἔστω M̊ κε̄ quae omnino delenda sunt.

et $$X_3X_1 + (X_3 + X_1) = \left(6\tfrac{1}{2}\right)x + 5\tfrac{1}{2},$$

uterque aequalis quadrato. Sed quum in altera formarum coefficientes x et unitatis sint superiores et ad coefficientes alterius formae non rationem habeant quadrati ad quadratum, inutilis est tentata positio. Deductum est ad quaerendum duos numeros tales ut productus ipsorum plus summa amborum faciat quadratum et insuper ⟨ipsi unitate aucti⟩ inter se in ratione fiant quadrati ad quadratum.

Quoniam, si numerus numeri 4^{plus} est plus 3, numeri illi, unitate aucti, inter se in ratione fiunt quadrati ad quadratum, pono

$$X_1 = x, \quad X_2 = 4x + 3.$$

Reliquum oportet

$$X_1X_2 + (X_1 + X_2)$$

facere quadratum. Sed est

$$X_1X_2 + (X_1 + X_2) = 4x^2 + 8x + 3.$$

Ista aequentur $\square$, quem formo a $(2x - 3)$; fit ipse $\square = 4x^2 + 9 - 12x$, et

$$x = \frac{6}{20} \quad \text{hoc est} \quad \frac{3}{10}.$$

Erit

$$X_1 = \frac{3}{10}, \quad X_2 = \frac{42}{10} = 4\tfrac{1}{5},$$

et constat una conditio.

Restat ut $X_2X_3 + X_2 + X_3$ faciat quadratum. Pono $X_3 = x$; est autem $X_2 = 4\frac{1}{5}$.

Fit

$$X_2X_3 + X_2 + X_3 = \left(5\tfrac{1}{5}\right)x + 4\tfrac{1}{5} = \square.$$

πάλιν ἐπεὶ ὁ μὲν γ^{ος} ἐστὶ ϛ $\overline{α}$, ὁ δὲ α^{ος} $\overset{ι}{\overline{γ}}$, ἔσται ὁ ὑπ' αὐτῶν μετὰ συναμφοτέρων ϛ $\overset{ι}{\overline{ιγ}}$ $\mathring{Μ}$ $\overset{ι}{\overline{γ}}$· ταῦτα ἴσα □^{ῳ}.
ποιῶ τοὺς ϛ $\overline{ε}$ ε^× $\mathring{Μ}$ $\overline{δ}$ ε^× ἐπὶ τὸν $\overline{κε}$· γίνονται ϛ $\overline{ρλ}$ $\mathring{Μ}$ $\overline{ρε}$ ἴσοι □^{ῳ}· καὶ ὁμοίως τὰ τοῦ ϛ $\overset{ι}{\overline{ιγ}}$ $\mathring{Μ}$ $\overset{ι}{\overline{γ}}$ ἐπὶ τὸν $\overline{ρ}$· γίνονται ϛ $\overline{ρλ}$ $\mathring{Μ}$ $\overline{λ}$ ἴσοι πάλιν □^{ῳ}. καὶ ἔστιν αὐτῶν ὑπεροχὴ $\mathring{Μ}$ $\overline{οε}$, καὶ ἔστι διπλῆ πάλιν ἰσότης, καὶ συνάγεται ὁ ϛ $\overset{ι}{\overline{ζ}}$.

ἔσται ὁ μὲν γ^{ος} $\overset{ι}{\overline{ζ}}$· ἦν δὲ καὶ ὁ μὲν α^{ος} $\overset{ι}{\overline{γ}}$, ὁ δὲ β^{ος} $\overset{ι}{\overline{μβ}}$· καὶ ποιοῦσι τὸ ἐπίταγμα.

ιϛ.

Εὑρεῖν τρεῖς ἀριθμοὺς ὅπως ὁ ὑπὸ δύο ὁποιωνοῦν λείψας συναμφότερον ποιῇ τετράγωνον.

Ὁμοίως τῷ πρὸ τούτου, τετάχθω ὁ α^{ος} ϛ $\overline{α}$, ὁ β^{ος} $\mathring{Μ}$ ὁσωνδήποτε, καὶ ἐλεύσομαι ὡσαύτως εἰς ἄπορον. ἵνα οὖν τὸ πλῆθος τῶν ϛ πρὸς τὸ πλῆθος τῶν ϛ ἔχωμεν λόγον ἔχον ὃν □^{ος} ἀριθμὸς πρὸς □^{ον} ἀριθμόν, ἀπῆκται εἰς τὸ ζητῆσαι δύο ἀριθμοὺς ὅπως ὁ ὑπ' αὐτῶν λείψας συναμφότερον ποιῇ τετράγωνον <καὶ ἔτι οἱ μονάδι αὐτῶν ἐλάσσους πρὸς ἀλλήλους λόγον ἔχωσιν ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν>.

Καὶ ἐπεὶ ἐὰν ἀριθμὸς ἀριθμοῦ τετραπλασίων ᾖ παρὰ $\mathring{Μ}$ $\overline{γ}$, οἱ μονάδι αὐτῶν ἐλάσσους πρὸς ἀλλήλους

---

1 Denom. suppl. *Ba* hîc et infra in eod. probl. 2 □^{ῳ}] *Ba* add. ἔστω $\mathring{Μ}$ $\overline{ρ}$. 12 λείψας *Ba*, λήψει AB. 14 ὡσαύτις *Ba*. 17 Λ A*Ba*, λήψη B. 18 ποιεῖ A. καὶ ἔτι οἱ μονάδι ἐλάσ-

Rursus quoniam $X_3 = x$ et $X_1 = \frac{3}{10}$, erit

$$X_3 X_1 + X_3 + X_1 = \frac{13}{10} x + \frac{3}{10} = \square.$$

Multiplico

$$\left(5\tfrac{1}{5}\right)x + 4\tfrac{1}{5} \text{ in } 25; \text{ fit } 130x + 105 = \square,$$

et similiter

$$\frac{13}{10} x + \frac{3}{10} \text{ in } 100; \text{ fit } 130x + 30 = \square.$$

Est illorum differentia 75 et rursus dupla aequatio, unde concluditur $x = \frac{7}{10}$.

Erit $X_3 = \frac{7}{10}$; sunt autem $X_1 = \frac{3}{10}$ et $X_2 = \frac{42}{10}$, et conditioni satisfaciunt.

XVI.

Invenire tres numeros tales ut productus binorum quorumvis minus summa amborum faciat quadratum. 19

Ut in praecedenti, ponatur $X_1 = x$ et X_2 unitatum quotlibet; similiter in impervium deveniemus. Ut igitur habeamus coefficientem x ad coefficientem x in ratione quadrati numeri ad quadratum numerum, deducimur ad quaerendum duos numeros tales ut ipsorum productus, minus summa amborum, faciat quadratum ⟨et adhuc ipsi, unitate deminuti, inter se fiant in ratione numeri quadrati ad numerum quadratum⟩.

Et quoniam si numerus numeri est 4^{plus} minus 3, numeri illi, unitate deminuti, inter se in ratione fiunt

---

σονες αὐτῶν πρὸς ἀλλήλους λόγον ἔχωσιν ὃν τετράγωνος πρὸς τετράγωνον (20) suppl. *Ba*, quae mutavi ex seq. (22, 178, 1).

λόγον ἔχουσιν ὃν □^{ος} ἀριθμὸς πρὸς □^{ον} ἀριθμόν, [ἐπειδήπερ καὶ τῆς Μ̊ ᾱ ἀφ' ἑκατέρου ἀφαιρουμένης γίνεται ἐλάττωσις Μ̊ δ̄ καὶ ᾱ, καὶ δῆλόν ἐστιν ὡς ἀπὸ τετραπλασίων λόγου τετραπλασίων ἀφαιρουμένου, καὶ
5 ὁ καταλειπόμενος ἔσται τετραπλασίων, τουτέστι □ πρὸς □], τάσσω οὖν τὸν μὲν α^{ον} ς ᾱ Μ̊ ᾱ, τὸν δὲ β^{ον} ς δ̄ Μ̊ ᾱ· καὶ μένει ὁ ὑπ' αὐτῶν λείψας συναμφότερον, γί. Δ^{Υ} δ̄ ⋔ Μ̊ ᾱ, ἴσος □^{φ}, τῷ ἀπὸ πλευρᾶς ς β̄ ⋔ Μ̊ β̄, τουτέστι Δ^{Υ} δ̄ Μ̊ δ̄ ⋔ ς η̄· καὶ γίνεται ὁ ς $\overset{\eta}{\bar{\varepsilon}}$.
10 ἔσται ὁ μὲν α^{ος} $\overset{\eta}{\overline{\iota\gamma}}$, ὁ δὲ β^{ος} $\overset{\eta}{\overline{\kappa\eta}}$, καὶ λέλυται ἓν τῶν ἐπιταγμάτων.

Καὶ ἐπεὶ ὁ μὲν α^{ος} ἐστι $\overset{\eta}{\overline{\iota\gamma}}$, ὁ δὲ β^{ος} Μ̊ γ̄ ∠', τάσσω τὸν γ^{ον} ς ᾱ. καὶ μένει ὁ ὑπὸ β^{ου} καὶ γ^{ου} συναγόμενος ς γ̄ ∠'· λείψας τὸν συναμφότερον, ς ᾱ Μ̊ γ̄ ∠', γί.
15 ς β̄ ∠' ⋔ Μ̊ γ̄ ∠' ἴσ. □^{φ}. ⟨ταῦτα δ^{κις}· γίνονται ς ῑ ⋔ Μ̊ ιδ.⟩

ὁ δὲ ὑπὸ γ^{ου} καὶ α^{ου} γίνεται ς $\overset{\eta}{\overline{\iota\gamma}}$· λείψας συναμφότερον, γί. ς $\overset{\eta}{\bar{\varepsilon}}$ ⋔ Μ̊ $\overset{\eta}{\overline{\iota\gamma}}$ ἴσ. □^{ῳ}. ταῦτα ις^{κις}· γίνονται ς ῑ ⋔ Μ̊ $\overline{\kappa ς}$.

καὶ ἔστιν αὐτῶν ὑπεροχὴ Μ̊ $\overline{\iota\beta}$· ὧν τὸ ὑπό; Μ̊ β̄

---

2 seq. Quae uncis inclusi imperito scholiastae tribuo. 3 *ἐστιν ὡς* scripsi, *ἴσος* A, *ἴσως* B, *ὅτι* *Ba*. 5 *τουτέστι ὡς* *Ba*. 7 ⋔ A, *λήψει* B. 7/8 *συναμφοτέρου* B. 8 *γί.* (= *γινόμενος*) scripsi, *γίνεται* A, *γίνεσθαι* B, om. *Ba*. ᾱ *Ba*, δ̄ AB. 9 Denom. suppl. *Ba* ubique in hoc problemate. 12 Μ̊ om. *Ba*. 13 *μένει* om. *Ba*. 14 *γίνονται* AB, *μένει* *Ba*. 15 □^{φ}] AB add. *ἔστω* Μ̊ δ̄, omnino delenda; item (17) *ἔστω* Μ̊ $\overline{\iota ς}$ post □^{φ}. *ταῦτα τετράκις γίνεται* ς^{οἱ} ῑ ⋔ ιδ Μ̊ suppl. *Auria*. 18 $\overline{\kappa ς}$] *Ba* ultra suppl. *ἴσοι τετραγώνῳ καὶ ὁμοίως οἱ* ς^{οἱ} β̄ ᾱ^{β} *λείψει* Μ̊ γ̄ ᾱ^{β} *τετράκις γίνον-*

quadrati numeri ad quadratum numerum [ab utroque enim unitate subtracta fiunt deminutiones 4 et 1 et manifestum est, si a numeris in ratione 4^{pla} subtrahantur alii in ratione 4^{pla}, residuos fore etiam in ratione 4^{pla}, hoc est quadrati ad quadratum], pono igitur

$$X_1 = x + 1, \quad X_2 = 4x + 1,$$

et constat

$$X_1 X_2 - (X_1 + X_2) = 4x^2 - 1.$$

Aequetur iste quadrato a radice $(2x - 2)$, hoc est $4x^2 + 4 - 8x$, et fit $x = \frac{5}{8}$.

Erit

$$X_1 = \frac{13}{8}, \quad X_2 = \frac{28}{8},$$

et uni conditioni satisfactum est.

Quoniam

$$X_1 = \frac{13}{8} \quad \text{et} \quad X_2 = 3\tfrac{1}{2},$$

pono $X_3 = x$, et constat $X_2 X_3$ (hoc est $3\frac{1}{2}x$), minus amborum summa $\left(x + 3\frac{1}{2}\right)$, fieri

$$2\tfrac{1}{2}x - 3\tfrac{1}{2} = \square.$$

⟨Omnia 4er; fit $10x - 14$.⟩

Est autem $X_3 X_1 = \frac{13}{8}x$; minus amborum summa, fit

$$\frac{5}{8}x - \frac{13}{8} = \square.$$

Omnia 16^{ies}; fit $10x - 26$.

Illorum est differentia $12 = 2 \times 6$. Factorum

ται ϛ^{οἱ} ῑ λείψει Μ̊ ιδ̄ ἴσοι πάλιν τετραγώνῳ. 19 *ὢν] οὖσα Ba;* signum interrogationis restitui.

καὶ $\overset{\circ}{M}\,\bar{ϛ}$· συναμφοτέρου τὸ ∠′ ἐφ' ἑαυτὸ γίνεται $\overset{\circ}{M}\,\overline{ιϛ}$ ἴσαι τῷ μείζονι, τουτέστιν ϛ $\bar{ι}$ ⋔ $\overset{\circ}{M}\,\overline{ιδ}$. καὶ γίνεται ὁ ϛ $\overset{\circ}{M}\,\bar{γ}$.

ἔσται ὁ μὲν γ^{ος} $\overset{\circ}{M}\,\bar{γ}$ τουτέστιν $\overset{η}{\overline{κδ}}$· ἔχομεν δὲ καὶ τὸν μὲν α^{ον} $\overset{η}{\overline{ιγ}}$, τὸν δὲ β^{ον} $\overset{\circ}{M}\,\bar{γ}$ ∠′ τουτέστιν $\overset{η}{\overline{κη}}$, καὶ ποιοῦσι τὸ πρόβλημα.

ιζ.

Εὑρεῖν δύο ἀριθμοὺς ὅπως ὁ ὑπ' αὐτῶν, ἐάν τε προσλάβῃ συναμφότερον, ἐάν τε ἑκάτερον, ποιῇ τετράγωνον.

Τετάχθω ὁ μὲν ϛ $\bar{α}$, ὁ δὲ ϛ $\bar{δ}$ ⋔ $\overset{\circ}{M}\,\bar{α}$, ἐπειδήπερ ἐὰν ἀριθμὸς ἀριθμοῦ ᾖ τετραπλασίων παρὰ μονάδα, ὁ ὑπ' αὐτῶν προσλαβὼν τὸν ἐλάσσονα ποιεῖ τετράγωνον.

ἑξῆς δεῖ καὶ τὰ λοιπὰ δύο ἐπιτάγματα κατασκευάσαι, ὥστε τὸν ὑπ' αὐτῶν προσλαβόντα ⟨τὸν β^{ον} ποιεῖν □^{ον} καὶ ἔτι τὸν ὑπ' αὐτῶν προσλαβόντα⟩ συναμφότερον ποιεῖν □^{ον}. ἀλλ' ὁ μὲν ὑπ' αὐτῶν προσλαβὼν τὸν β^{ον} γίνεται $\Delta^{Y}\,\bar{δ}$ ϛ $\bar{γ}$ ⋔ $\overset{\circ}{M}\,\bar{α}$ ἴσ. □^{ῳ}· ὁ δὲ ὑπ' αὐτῶν προσλαβὼν συναμφότερον γίνεται $\Delta^{Y}\,\bar{δ}$ ϛ $\bar{δ}$ ⋔ $\overset{\circ}{M}\,\bar{α}$ ἴσ. □^{ῳ}.

